## Ὑπόθεσις τῶν Ἑπτὰ ἐπὶ Θήβας.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν Θήβαις ὑπόκειται, ὁ δὲ χορὸς ἐκ Θηβαίων ἐστὶ παρθένων, ἡ δὲ ὑπόθεσις στρατιὰ Ἀργείων πολιορκοῦσα Θηβαίους, τοὺς καὶ νικήσαντας, καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. ἐδιδάχθη ἐπὶ Θεαγένους ὀλυμπιάδι οή (anno primo, a. Chr. n. 467). ἐνίκα Λαΐῳ, Οἰδίποδι, Ἑπτὰ ἐπὶ Θήβας, Σφιγγὶ σατυρικῇ. δεύτερος Ἀριστίων (Ἀριστίας Franzius) Περσεῖ, Ταντάλῳ, Παλαισταῖς σατυρικοῖς (l. σατύροις) τοῖς Πρατίνου πατρός. τρίτος Πολυφράσμων Λυκουργείᾳ τετραλογίᾳ.

τὰ τοῦ δράματος πρόσωπα·

Ἐτεοκλῆς
ἄγγελος κατάσκοπος
χορὸς παρθένων
Ἀντιγόνη
Ἰσμήνη
κῆρυξ.